# ΕΓΚΥΚΛΙΟΣ ΕΠΙΣΤΟΛΗ

Ἐπισκόπων ἐν Ἀγγλίᾳ συνηθροισμένων, ἐν ἡμέραις 24—27 μηνὸς Σεπτεμβρίου, ἔτει 1867.

*Τοῖς πιστοῖς ἐν Χριστῷ Ἰησοῦ, Πρεσβυτέροις, Διακόνοις καὶ λαϊκοῖς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, συγκοινωνοῖς τοῦ Ἀγγλικοῦ μέρους τῆς Καθολικῆς Ἐκκλησίας, χαίρειν ἐν Κυρίῳ.*

*Ἡμεῖς οἱ ὑπογράψαντες Ἐπίσκοποι, τῇ ἀγαθῇ τοῦ Θεοῦ προνοίᾳ ὁμοθυμαδὸν ἐπισυνηγμένοι, κοινῶν προσευχῶν ἕνεκα καὶ συμβουλεύσεως, ἐν τῷ τῆς Καντουαρίας Ἀρχιεπισκόπου παλατίῳ Λαμβηθανῷ, δεόμεθα ὑπὲρ ὑμῶν ἵνα λάβητε χάριν, ἔλεος, καὶ εἰρήνην ἀπὸ Θεοῦ Πατρὸς, καὶ τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ.*

*Εὐχαριστοῦμεν τῷ Θεῷ, ἀδελφοὶ ἀγαπητοὶ, ὑπὲρ τῆς πίστεως ὑμῶν ἐν Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ, καὶ ὑπὲρ τῆς ἀγάπης εἰς τοὺς ἁγίους, ἥτις ἐπερίσσευσεν ἐν ὑμῖν, καὶ ὑπὲρ τῆς Χριστοῦ ἐπιγνώσεως, ἣ δι' ὑμῶν ἐξήχηται ἐν τοῖς ἀνδρειοτάτοις τῆς οἰκουμένης ἔθνεσιν· καὶ ἑνὶ στόματι δεήσεις ποιούμεθα πρὸς τὸν Θεὸν καὶ Πατέρα, ἵνα τῇ τοῦ Ἁγίου Πνεύματος δυνάμει σθενώσῃ ἡμᾶς τῇ ἰσχῦι Αὐτοῦ, εἰς τὸ ἐπανορθῶσαι τὰ παραπίπτοντα, καὶ τὰ λείποντα ἀναπληρῶσαι, καὶ ἐπεκτείνεσθαι εἰς ὑψηλότερα ἀγάπης μέτρα καὶ ζήλου ἐν τῷ λατρεύειν αὐτῷ, καὶ ἐν τῷ γνωρίζειν τὸ ὄνομα αὐτοῦ· καὶ προσευχόμεθα ἵνα ἐν τῷ δεκτῷ αὐτοῦ καιρῷ ἀποδῷ τῇ ὅλῃ Αὐτοῦ ἐκκλησίᾳ τὸ μακαριστὸν χάρισμα τῆς ἑνότητος ἐν τῇ ἀληθείᾳ.*

*Καὶ νῦν, ἀδελφοὶ, παρακαλοῦμεν ὑμᾶς ἐν ἀγάπῃ, ἵνα τηρῆτε ὁλόκληρον καὶ ἀδιάφθορον τὴν ἅπαξ παραδοθεῖσαν τοῖς ἁγίοις πίστιν, καθὼς αὐτὴν παρειλήφατε ἀπὸ τοῦ Κυρίου Ἰησοῦ. Ἐρωτῶμεν*

*ὑμᾶς ἵνα γρηγορῆτε καὶ προσεύχησθε, καὶ ἀγωνίζησθε εὐκαρδίως μεθ' ἡμῶν κατὰ τῶν πανουργιῶν καὶ μεθοδειῶν, δι' ὧν ἡ πίστις τὸ πρὶν καὶ ἐν τῷ νῦν παρόντι χρόνῳ πορθεῖται.*

*Παρακαλοῦμεν ὑμᾶς ἵνα ἀσφαλῶς κρατῆτε, ὡς βέβαιον Θεοῦ λόγον, πάσας τὰς κανονικὰς γραφὰς τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης, καὶ ἵνα, σπουδαίως ἐρευνῶντες ταῦτα τὰ λόγια τοῦ Θεοῦ, ζητῆτε περισσοτέρως γνῶναι τὸν Κύριον καὶ Σωτῆρα Ἰησοῦν Χριστὸν, Θεὸν ἀληθινὸν καὶ ἄνθρωπον ἀληθινὸν, ᾧ πάντοτε προσκυνεῖν δεῖ καὶ λατρεύειν, ὃν αἱ γραφαὶ ἡμῖν ἀνακαλύπτουσιν, καὶ τὸ θέλημα τοῦ Θεοῦ, τὸ ἐν αὐταῖς φανερούμενον.*

*Ἅμα δὲ ὑμῖν, ἀδελφοὶ, διαμαρτυρόμεθα, φυλάξατε ἑαυτοὺς καὶ τοὺς ὑμετέρους ἀπὸ τῶν ἀεὶ αὐξανομένων ἐθελοθρησκειῶν καὶ ἐπιβλημάτων, δι' ὧν ἡ τοῦ Θεοῦ ἀλήθεια ἐν τοῖς ὑστέροις τούτοις χρόνοις παραπέπλασται, ἄλλως τε καὶ μάλιστα διὰ τῆς ἀντιποιήσεως μοναρχίας οἰκουμενικῆς, κατακυριευούσης τοῦ κλήρου τοῦ Θεοῦ, ἧς ἀξιοῦται παρά τισιν ἡ Ῥώμης καθέδρα· ἔτι δὲ διὰ τῆς ἐνεργοῦ ὑπεράρσεως τῆς μακαρίας Παρθένου Μαρίας εἰς τόπον Μεσίτου, ἀντὶ τοῦ Υἱοῦ αὐτῆς αὐτοθέου, καὶ διὰ προσευχῶν αὐτῇ προσφερομένων ὡς ἐντυγχανούσῃ ὑπὲρ ἀνθρώπων παρὰ Θεῷ. Προσέχετε ἀπὸ τοιούτων, εἰδότες ὅτι τὴν τιμὴν ἑαυτοῦ οὐχ ἑτέρῳ δίδωσιν ὁ ζηλωτὴς Θεός.*

*Ἐποικοδομεῖσθε οὖν, ἀγαπητοὶ, ἐπὶ τῇ ἁγιωτάτῃ ὑμῶν πίστει· αὐξάνεσθε ἐν χάριτι καὶ γνώσει καὶ ἀγάπῃ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Καταδείξατε ἐνώπιον πάντων, διὰ τῆς πίστεως, αὐταπαρνήσεως, ἁγνείας, καὶ εὐσεβοῦς ἀναστροφῆς, ἅμα δὲ διὰ τῶν ὑμετέρων κόπων ὑπὲρ τῶν λαῶν ἐν οἷς ὁ Θεὸς ὑμᾶς εἰς τοσοῦτον εὖρος διαπεφύτευκε, καὶ διὰ*

*τοῦ κηρύγματος τοῦ εὐαγγελίου τοῖς ἀπίστοις καὶ τοῖς ἔθνεσιν, ὅτι τῷ ὄντι ἐστὲ δοῦλοι Ἐκείνου, ὃς ἀπέθανεν ὑπὲρ ἡμῶν, ἵνα καταλλάξῃ ἡμῖν τὸν Πατέρα, καὶ ἵνα θυσίαν Ἑαυτὸν ἀνενέγκῃ ὑπὲρ τῶν ἁμαρτιῶν ὅλου τοῦ κόσμου.*

*Ἀδελφοὶ ἀγαπητοὶ, μιᾷ φωνῇ νουθετοῦμεν ὑμᾶς· ὁ καιρὸς συνεσταλμένος· ὁ Κύριος ἔρχεται· γρηγορεῖτε, νήφετε. Στήκετε ἑδραῖοι ἐν τῇ κοινωνίᾳ τῶν ἁγίων, ἐν ᾗ Θεὸς ὑμῖν μερίδα κεχάρισται· ζητεῖτε ἐν πίστει ἑνοῦσθαι τῷ Χριστῷ ἐν τῷ εὐλογημένῳ μυστηρίῳ τοῦ σώματος Αὐτοῦ καὶ αἵματος. Κατέχετε στερεῶς τὰ Σύμβολα, καὶ τὴν καθαρὰν θρησκείαν καὶ τάξιν, ἣν χάριτι Θεοῦ κεκληρονομήκατε ἀπὸ τῆς ἀρχῆθεν ἐκκλησίας. Βλέπετε μὴ διχοστασίας ποιῆτε κατὰ τῆς διδαχῆς ἣν ἐμάθετε. Ἐρωτᾶτε καὶ διώκετε ἑνότητα ἐν ἑαυτοῖς, καὶ ἐν πᾶσι τοῖς πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· καὶ ὁ χρηστὸς Κύριος τελειώσαι ὑμᾶς, καὶ τηρήσαι ὑμῶν τὸ σῶμα, τὴν ψυχὴν, καὶ τὸ πνεῦμα, εἰς τὴν παρουσίαν τοῦ Κυρίου Ἰησοῦ. Ἀμήν.*

C. T. Cantuar. ἀρχιεπίσκοπος, καὶ μητροπολίτης, καὶ πρῶτος ὅλης τῆς Ἀγγλίας.
M. G. Armagh. ἀρχιεπίσκοπος, καὶ μητροπολίτης, καὶ πρῶτος ὅλης τῆς Ἰβερνίας.
R. C. Dublin. ἀρχιεπίσκοπος, καὶ μητροπολίτης, καὶ πρῶτος Ἰβερνίας.
A. C. London. ἐπίσκοπος.
C. R. Winton. ἐπίσκοπος.
C. St. David's. ἐπίσκοπος.
J. Lichfield. ἐπίσκοπος.
S. Oxon. ἐπίσκοπος.
Thomas Vowler St. Asaph. ἐπίσκοπος.
A. Llandaff. ἐπίσκοπος.
John Lincoln. ἐπίσκοπος.
W. K. Sarum. ἐπίσκοπος.
John T. Norwich. ἐπίσκοπος.
J. C. Bangor. ἐπίσκοπος.
H. Worcester. ἐπίσκοπος.
C. J. Gloucester and Bristol. ἐπίσκοπος.
E. H. Ely. ἐπίσκοπος.
William Chester. ἐπίσκοπος.
T. L. Rochester. ἐπίσκοπος.
Horace Sodor and Mann. ἐπίσκοπος.
Samuel Meath. ἐπίσκοπος.
H. Kilmore. ἐπίσκοπος.
Charles Limerick, Ardfert, and Aghadoe. ἐπίσκοπος.
Robert Eden, Moray, Ross, Caithness. ἐπίσκοπος, καὶ πρῶτος τῆς Σκοτικῆς ἐκκλησίας.

Alexander Ewing, Argyll and the Isles. ἐπίσκοπος.
Charles Wordsworth, St. Andrew's, Dunkeld, and Dunblane. ἐπίσκοπος.
Thos. G. Suther, Aberdeen and Orkney. ἐπίσκοπος.
William S. Wilson, Glasgow and Galloway. ἐπίσκοπος.
Thomas B. Morrell, Edinburgh. συνεπίσκοπος.
F. Montreal, Canada. μητροπολίτης.
G. A. New Zealand. μητροπολίτης.
R. Capetown. μητροπολίτης.
Aubrey G. Jamaica. ἐπίσκοπος.
T. Barbados. ἐπίσκοπος.
J. Bombay. ἐπίσκοπος.
H. Nova Scotia. ἐπίσκοπος.
F. T. Labuan. ἐπίσκοπος.
H. Grahamstown. ἐπίσκοπος.
H. J. C. Christchurch. ἐπίσκοπος.
Mathew Perth. ἐπίσκοπος.
Benj. Huron. ἐπίσκοπος.
W. W. Antigua. ἐπίσκοπος.
E. H. Sierra Leone. ἐπίσκοπος.
T. N. Honolulu. ἐπίσκοπος.
J. T. Ontario. ἐπίσκοπος.
J. W. Quebec. ἐπίσκοπος.
W. J. Gibraltar. ἐπίσκοπος.
H. L. Dunedin. ἐπίσκοπος.
Edward, Orange River Free State. ἐπίσκοπος.
A. N. Niagara. ἐπίσκοπος.
William George Tozer. ἐπίσκοπος.
James B. Kelly, Newfoundland. συνεπίσκοπος.
S. Angl. Hierosol. ἐπίσκοπος.
John H. Hopkins. ἐπίσκοπος προεδρεύων τῆς ἐκκλησίας τῶν ἡνωμένων ἐπαρχιῶν τῆς 'Αμερικῆς.
Chas. P. McIlvaine, Ohio. ἐπίσκοπος.
Manton Eastburn, Massachusetts. ἐπίσκοπος.
J. Payne, Cape Palmas. ἐπίσκοπος.
H. J. Whitehouse, Illinois. ἐπίσκοπος.
Thomas Atkinson, North Carolina. ἐπίσκοπος.
Henry W. Lee, Iowa. ἐπίσκοπος.
Horatio Potter, New York. ἐπίσκοπος.
Thomas M. Clark, Rhode Island. ἐπίσκοπος.
Alexander Gregg, Texas. ἐπίσκοπος.
W. H. Odenheimer, New Jersey. ἐπίσκοπος.
G. T. Bedell, Ohio. συνεπίσκοπος.
Henry C. Lay, Arkansas. ἐπίσκοπος.
Jos. C. Talbot, Indiana. συνεπίσκοπος.
Richard H. Wilmer, Alabama. ἐπίσκοπος.
Charles Todd Quintard, Tennessee. ἐπίσκοπος.
John B. Kerfoot, Pittsburg. ἐπίσκοπος.
J. P. B. Wilmer, Louisiana. ἐπίσκοπος.
C. M. Williams, China. ἐπίσκοπος.
J. Chapman. ἐπίσκοπος.
George Smith, late of Victoria (China). ἐπίσκοπος.
David Anderson, late of Rupert's Land. ἐπίσκοπος.
Edmund Hobhouse. ἐπίσκοπος.

GILBERT ET RIVINGTON EXCUDEBANT, LONDINI, 1867.